Ἦχοι θαλάσσης ἀνδρὸς ἄφρονος λόγοι,
βρίθουσι ἀκτὰς, οὐ πιαίνουσι χλόας. Αλ. βρίθοντες.
Πείθουσι δῶρα καὶ σοφοὺς παραβλέπειν
βροτοῖς δὲ θήρα, χρυσός, ὡς πλουσίοις πάγη.
Γῆρας λύπαι τίκτουσι, καὶ πρὸ τῶν χρόνων. Αλ. Πῆρας
Ἀλλ' οὐ βροτοὺς καθεῖλεν, οὐ στηθεὶς χρόνος.
Πλοῦτος τάχιστος τῶν κακῶν ὑπηρέτης,
καὶ γὰρ πρόχειρον εἰς κακουργίαν κράτος.
Οὐκ ἔστιν οὐδὲν βέλτιον κτῆμα φίλου,
πονηρὸν ἄνδρα μηδέποτε κτήσῃ φίλον.
Τάξις τιμάσθω, καὶ πειθαρχείσθω κράτος,
κράτος γὰρ αὕτη, καὶ κράτους ἀεὶ φύλαξ.
Νοῦς ἐμμελήμενος, σὴς βιβρώσκων ὀστέα,
θάλλει δὲ σῶμα, φροντίδας παρεκβέχον.
Οὐδεὶς κόρος πέφυκε σωφρόνως ἔχειν
καὶ γὰρ τὸ πῦρ εἴωθε ταῖς ὕλαις θέειν.
Οἶνος πάθους ἔγερσις ἐκλελοιπότος.
ὕλη γὰρ εἰσρέουσα ῥώννυσι φλόγα.
Φλέγουσιν ὀργὰς οἱ δίκας δεδοικότες,
θυμὸν γὰρ ἐξάπτουσι πολλάκις δίκαι.
Δεινὸν πόνοις κάμνοντι προστεθεῖναι πόνους,
ἀλλ' οὖν πόνους ἔπαυσε πολλάκις πόνος.